A

Εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων να.

Bisetus. Ὁ Τρυγαῖος τὴν Εἰρήνην ἐξ ἄντρου ἤδη ἀνελκυσθεῖσαν, καὶ τὴν Ὀπώραν, καὶ τὴν Θεωρίαν μετ' αὐτῆς ἐκεῖθεν ἐξενεχθείσας ὁρῶν, αὐτὰς χαίρειν κελεύει, καὶ χαρᾶς ἔμπλεος ἀσπάζεται.

Τρυ. Ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος;
B Πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον,
Ὅτῳ προσείπω σ'; οὐ γὰρ εἶχον οἴκοθεν.
Ὦ χαῖρ' Ὀπώρα, καὶ σὺ δ' ὦ Θεωρία,
Οἷον δ' ἔχεις τὸ πρόσωπον ὦ Θεωρία,
Οἷον δὲ πνεῖς, ὡς ἡδὺ κατὰ τῆς καρδίας,
Γλυκύτατον ὥσπερ ἀστρατείας καὶ μύρου.
Μῶν οὖν ὅμοιον καὶ γυλίου στρατιωτικοῦ;
C Ερ. Ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος,
Τοῦ μὲν γὰρ, ὄζει κρομμυοξυρεγμίας,
Ταύτης δ' ὀπώρας, ὑποδοχῆς, Διονυσίων,
Αὐλῶν, τραγῳδῶν, Σοφοκλέους μελῶν, κιχλῶν.
Ἐπυλλίων Εὐριπίδου. Τρυ. Κλαύσ' ἄρα σὺ
Ταύτης καταψευδόμενος· οὐ γὰρ ἥδεται
Αὕτη ποιητῇ ῥηματίων δικανικῶν,
D Κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
Κόλπου γυναικῶν διατρεχουσῶν ἐς ἰπνὸν,
Δούλης μεθυούσης, ἀνατετραμμένου χοῶς,
Ἄλλων τε πολλῶν κἀγαθῶν. Ερ. Ἴθι νυν ἄθρει,
Οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
Διαλλαγεῖσαι, καὶ γελῶσιν ἄσμεναι,
Καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
Ἁπαξάπασαι, καὶ κυάθοις προσκείμεναι.

*Try. O diues vuis Diua quo iam nomine*
*Mille amphorarum te capaci nuncupem?*
*Vnde ergo sumam verba? nam desunt domi.*
*Auctumna salue. salua sis Spectacula.*
*O qualis est vultus tibi ô Spectacula?*
*O quàm suaue corde spiras intimo,*
*Quàm dulce, olénsque imbelliam & bona vnguina:*
*Num simile quiddam est militaris fiscina?*
*Mer. Graues viri hostis sarcinas abominor,*
*Namque illa redolent cepiuomacrimoniam.*
*Auctumna verò gaudia & Dionysia,*
*Tragicos, Sophoclis carmina, iocos, tibias,*
*Turdos, minuta Euripidis poëmata.*
*Try. Plorabis hæc mentitus, haud enim illa amat*
*Viro in poëta verba iuris & fori:*
*Vindemiam, ederam amat, atque balātes oues,*
*Et feminæ currentis ad furnos sinum,*
*Et ebriam ancillam, & refusum congium,*
*Et plurima alia tot bona. Mer. aspice ergo, sis,*
*Vrbes reconciliatæ vt inuicem modò*
*Sese alloquantur, & lubentes rideant*
*Mireque subgillatæ, & alto tubere*
*Omnes retusæ, & subiacentes cotulis.*

E

Σχόλια. Ὦ πότνια.] εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων να. ὧν οἱ μὲν λγ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. οἱ δὲ ἑξῆς ιη τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει ἡ ἔξω διπλῆ. Βοτρυόδωρε] βότρυς δωρουμένη. ὦ εὐφραντοποιέ. ἐπεὶ ἐν εἰρήνῃ φύονται αἱ ἄμπελοι. οἰκεῖον δὲ τοῖς γεωργοῖς, καὶ τὰ παρ' αὐτῶν ἐπίθετα. μυριάμφορον δὲ, τίμιον καὶ πολυπληθῆ. ἢ μυρία κεράμια χωρῆσαι δυνάμενον. ἀπὸ δὲ τῶν ληνῶν καὶ πίθων τῇ μεταφορᾷ ἐχρήσατο. Οὐ γὰρ εἶχον οἴκοθεν] ἄξιον τοῦ ἐπαίνου οὐκ εἶχον οἴκοι. ἐπαύξησις δὲ τῶν παρελθόντων κακῶν, εἴγε μέχρι καὶ τῶν τοιούτων ἐστέρηνται χρημάτων. Χαῖρ' ὀπώρα.] ὡς καὶ τούτων σὺν τῇ εἰρήνῃ ἀνελθουσῶν. ὑποτίθεται δὲ αὐτὰς ὡς πόρνας.

Christ. Ῥῆμα μυριάμφορον] Propter illud βοτρυόδωρε, vt innuat vinearum fertilitatem: Sed interim Poëtis imminet, qui Proiiciunt ampullas. Οἴκοθεν] Propter mala præterita quæ ne verborum quidem lauram supellectilē reliquerunt colonis. In Scholiasta mendum est, τῶν τοιούτων ἐστέρηνται χρημάτων, lege ῥημάτων. Χαῖρ' ὀπώρα] Oporam & Theoriam quæ ab aspectu & forma nomen habent, præterea Pace tantum vigent & regnant, inducit tanquam meretrices. Sanè enim in Theatris & ludis scenicis earum visus & vsus frequens fuit, vt postea parebit.

Σχόλια. Ἀστρατείας.] ἀντὶ τοῦ εἰρήνης. παρ' ὑπόνοιαν δὲ ἀντὶ τοῦ εὐδίας. Γυλίου.] ἀγγεῖον στρατιωτικὸν, εἰς ὃ τὰς τροφὰς ἄγονται οἱ στρατιῶται. φησὶν οὖν οὐ ταυτὸν ὄδωδεν ὁ γύλιος καὶ ἡ θεωρία πλέκος. πλέγμα σκευοφόρον στρατιωτικόν. ἔστι δὲ ζῶον ὃ καλεῖται ὑπό τινων χοιρογρύλλιος. Κρομμυοξυρεγμίας.] ἀπεψίας. σημεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς συνέθηκε τὴν λέξιν. ταῦτα γὰρ, εἰώθασι κομίζειν εἰς τὸν πότον.

Bisetus. Τὰ παλαιὰ σχόλια, ὧν ἡ ἀρχὴ, Ὡς τούτων σὺν ὥρᾳ, ἐκ τοῦ Σουίδα οὕτως ἐπανόρθωσον. Καὶ τούτων σὺν τῇ Εἰρήνῃ ἀνελθουσῶν. ὑποτίθεται δὲ αὐτὰς ὡς πόρνας. Ἀστρατείας] ἀντὶ τοῦ εἰρήνης. ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται. παρ' ὑπόνοιαν δὲ, ἀντὶ τοῦ εὐδίας. Γυλίου] γύλιος, πλέγμα στρατιωτικὸν, σκευοφόρον, ἐπιμηκές, εἰς ὀξὺ λῆγον πρὸς τὸ μὴ καταγνυσθαι, ἐν ᾧ κατετίθεντο τυρὸν, καὶ ἐλαίας, καὶ κρόμμυα, ἡ λεγομένη στρατιωτικὴ ὀψοθήκη. φησὶν οὖν οὐ ταυτὸν ὄδωδεν ὁ γύλιος, καὶ ἡ Θεωρία. Πλέκος] πλέγμα. τὸ πεπλεγμένον σπυρίδιον. σκευοφόρον, στρατιωτικόν. Κρομμυοξυρεγμίας] ἀπεψίας. σημεῖα γὰρ, καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων, καὶ τῆς ὀξύτητος, καὶ τῆς ἐρυγῆς, συνέθηκε τὴν λέξιν. διὸ καὶ ὁ

γύλιος